www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΠΑΪΣΙΟΥ ΤΟΥ ΒΕΛΙΤΣΚΟΦΣΚΥ

(οὗ ἡ μνήμη τῇ 15η Νοεμβρίου)

* ΑΓΙΟΝ ΟΡΟΣ ΑΘΩΣ *

* 1997 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ & ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΠΑΪΣΙΟΝ ΤΟΝ ΒΕΛΙΤΣΚΟΦΣΚΥ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Ὡς πληρωτὴς τῆς τοῦ Δεσπότου ἀγάπης,
ἦρας ἐπ᾽ ὤμων τὸν σταυρὸν μοναζόντων,
καὶ γέγονας θεόσοφος διδάσκαλος αὐτῶν,
διὰ θείας νήψεως καὶ εὐχῆς ἀρεμβάστου,
ἐν τῷ ὄρει Ἄθωνος καὶ τῇ γῇ Μολδαβίας,
ὅθεν Κυρίῳ πάτερ παρεστώς,
τῶν σὲ τιμώντων, Παΐσιε μνήσθητι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

www.tezaurliturgic.ro


Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Ὑπὲρ ἡμῶν, Παΐσιε, ὕψωσον θείας χεῖρας. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Ὑπὲρ τῶν τιμώντων σε εὐλαβῶς, Παΐσιε πάτερ, τὰς σὰς χεῖρας πρὸς τὸν Θεόν, μὴ παύσῃ ἐπαίρειν ὅπως Τοῦτον, εἰλικρινῶς καὶ γνησίως φιλήσωμεν.

Παθῶν πολεμήσας τὰς ἀφορμάς, ὡς σκεῦος Κυρίου, ἀνεδείχθης πανευπρεπές, Παΐσιε ζήσας ἐν ἀσκήσει, καὶ προσευχῆς ἐργαστήριον δέδειξαι.

Ἐμάκρυνας Πάτερ ὥσπερ στρουθός, ἐκ σῆς γενετείρας, τὸν Δεσπότην ἐπιποθῶν, διὸ καὶ ἡμῖν δίδου τὸν πόθον, θείας ἀγάπης μηδέπω σβεννύμενον.

*Θεοτοκίον*

Ῥοαῖς τῶν δακρύων καθαρτικαῖς, ἡτοίμασας Πάτερ, ἐνδιαίτημα τῷ Χριστῷ, μεσίτριαν ἔχων τὴν Παρθένον, ἧς τὸν Περίβολον πόθῳ κατέλαβες.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἦλθες Πάτερ ἐν Ἄθῳ, ὡσεὶ χριστόβλητος ἔλαφος, καὶ τῇ νηπτικῇ ἐργασίᾳ, ὅλος ἐκδέδοσαι, διὸ ἀξίωσον, τοὺς ἐκ ψυχῆς σε τιμῶντας, τὴν εὐχὴν ἐργάζεσθαι, τὴν ἀδιάλειπτον.

Μελετῶν καθ’ ἑκάστην, διψητικῶς Ὅσιε, ὅσα οἱ ἀρχαῖοι Πατέρες, σοφῶς συνέγραψαν, ὡς ἄλλη μέλισσα, εὐχῆς τὸ μέλι συνάξας, ὅπερ τοῖς αἰτοῦσί σε, πλουσίως πάρεχε.

Ὡς Κυρίου φυλάττων, τὰς ἐντολὰς Ὅσιε, ἀπλανὴς διδάσκαλος ὤφθης, ζωῆς τῆς κρείττονος, ἧς περ ἀξίωσον, πάντας ἡμᾶς τούς σε ὕμνοις, καὶ ᾠδαῖς γεραίροντας, θεῖε Παΐσιε.

*Θεοτοκίο*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Ναοὺς δεῖξον τιμίους, τοῦ σοῦ Υἱοῦ Πάνσεμνε, τοὺς ὑμνολογοῦντάς σε πόθῳ, ὡς τὸν Παΐσιον, ναὸν ἀνέδειξας, τῆς νηπτικῆς ἐργασίας, καὶ εὐχῆς διδάσκαλον, θεοσοφώτατον.

Διάσωσον, ἀπὸ ἐχθροῦ τῶν παγίδων τοὺς σὲ τιμῶντας, καὶ ἀξίους τῆς κλήσεως Ὅσιε, ἀνάδειξον τοῦ Ἰησοῦ, καὶ εὐχῆς τῆς καρδίας ἐργάτας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Χριστὸν ἐκ ψυχῆς, ποθήσας πάτερ ὅσιε, ἐφεῦρες Αὐτόν, ἐν νήψει ἐργαζόμενος, τὴν εὐχὴν ἀδιάλειπτον Παΐσιε, ἧς καὶ ἡμᾶς ταῖς σαῖς εὐχαῖς, ἀξίους ἐργάτας ἀνάδειξον.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Πορευθεὶς ἐν τοῖς ἴχνεσι, θείων διδασκάλων εὐχῆς Παΐσιε, ταύτης μέγας μύστης γέγονας, ἧς ἡμᾶς πρεσβείαις σου ἀξίωσον.

Ἁγιάσας Παΐσιε, σεαυτὸν ἀσκήσεως κατορθώμασι, φοιτηταῖς σου τῆς θεώσεως, ἀπλανῶς τὸν τρόπον καθυπέδειξας.

Ἱερώτατον σφάγιον, τῆς Χριστοῦ ἀγάπης βωμῷ προσήνεξαι, ὅθεν ὅσιε Παΐσιε, καὶ ἡμᾶς Κυρίου δεῖξον θύματα.

*Θεοτοκίον*

Σὲ προστάτιδα ἔχων σε, ἐν τῷ θείῳ Ἄθῳ σεπτὸς Παΐσιος, Παναγία οἶκος γέγονε, παναγίου Πνεύματος πρεσβείαις σου.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἵλεων ἡμῖν, τὸν Δεσπότην Πάτερ ποίησον, ὅπως συγγνώμην παραπτώσεων, δῷ τῶν παμπόλλων, αἷς λυποῦμεν Τοῦτον πάντοτε.

Ἔχων πατρικήν, συγκατάβασιν Παΐσιε, πρὸς τὸν Δεσπότην ἡμῶν φάνηθι, ἀεὶ μεσίτης, καὶ εὐχέτης ἀκαταίσχυντος.

Ὕψος ἀνελθὼν, ταπεινώσεως Παΐσιε, σύμμορφος γέγονας Δεσπότου Χριστοῦ, Ὃν ἐκδυσώπει, καὶ ἡμῖν δοῦναι ταπείνωσιν.

*Θεοτοκίον*

Ψάλλοντας πιστῶς, καὶ ὑμνοῦντάς σε Πανύμνητε, μὴ καταλίπῃς προστασίας σου γυμνούς, ὅπως ἀπαύστως, μεγαλύνωμεν τὸν Τόκον σου.

*Ὠιδὴ ϛ΄. Τὴν δέησιν.*

Ὡς ἔμπειρος, μοναστῶν διδάσκαλος, πλήθη ἤθροισας πλησίον σου πάτερ, τῶν τοῦ Χριστοῦ, τὸν ζυγὸν εἰληφότων, καὶ τὸ Αὐτοῦ ποθησάντων τὸ Πρόσωπον, μεθ' ὧν προσδέχου καὶ ἡμᾶς, μαθητὰς ὡς ἐσχάτους τοῖς ἔτεσι.

Σοφίας σε, ὁ Χριστὸς ἐνέπλησεν, οὐρανίου ὁσιώτατε Πάτερ, δι' ἧς σοφῶς, παμπληθεῖς μαθητάς σου, πρὸς τὴν ὁδὸν τῆς θεώσεως ἤγαγες, δι' ἐργασίας εὐκτικῆς, ἣν ὡς δῶρον ἡμῖν δὸς τιμῶσί σε.

Ὁ λόγος σου, ὥσπερ μέλι ἔῤῥεεν, ἐκ τοῦ στόματός σου Πάτερ θεόφρον, οἰκοδομῶν, μαθητὰς καὶ γλυκαίνων, τὰ τῶν ψυχῶν νοερὰ αἰσθητήρια, διὸ ὡς τούτους καὶ ἡμᾶς, καταγλύκανον λόγοις πανσόφοις σου.

*Θεοτοκίον*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νεκρώσεως, τῶν παθῶν ἀξίωσον, τοὺς ὑμνοῦντάς σε Ἁγνὴ Θεομῆτορ, ὥσπερ νεκρόν, τὸν Παΐσιον πάλαι, τῇ ζωηφόρῳ ἀσκήσει ἀνέδειξας, καὶ ζήσαντα κατὰ Χριστόν, τοῦ φωτὸς Παραδείσου ἠξίωσας.

Διάσωσον, ἀπὸ ἐχθροῦ τῶν παγίδων τοὺς σὲ τιμῶντας, καὶ ἀξίους τῆς κλήσεως Ὅσιε, ἀνάδειξον τοῦ Ἰησοῦ, καὶ εὐχῆς τῆς καρδίας ἐργάτας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ἐκ Θεοῦ δῶρον πάτερ Παΐσιε, Ἐκκλησίᾳ οὐράνιον δέδοσαι, τοῦ ἐγεῖραι, τὴν πεπτωκυῖαν νήψεως σκηνήν, δι' ἧς πλήθη μοναστῶν, πρὸς τὴν οὐράνιον ζωήν, ἀπλανῶς καθωδήγησας· ὅθεν τοὺς σὲ τιμῶντας, πλήρωσον τῆς ἀγάπης, καὶ γλυκυτάτης Ἰησοῦ, τῆς εὐχῆς ἐργάτας ποίησον.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.*

**Εὐαγγέλιον.**
*Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ

καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

*Δόξα Πατρί.*

Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Ὅλην σου τὴν ἔφεσιν, πρὸς τὸν Χριστὸν ἀνατείνας,
τὸν σταυρὸν ἀσκήσεως, πόθῳ Πάτερ εἴληφας,
καὶ ἐμάκρυνας, γῆς τῆς γεννησάσης σε,
ὅπως μαργαρίτην, τὸν πολύτιμον Παΐσιε,
εὕρῃς ὡς ἔμπορος τῆς παραβολῆς σωφρονέστατος,
τοῖς ἴχνεσιν ἑπόμενος,
θείων Διδασκάλων τῆς Πίστεως.
Ὅθεν ἀνεδείχθης, εὐχῆς τοῦ Ἰησοῦ καθηγητής,
ἣν καὶ ἡμῖν ὥσπερ χάρισμα,
δώρησαι ἰσόβιον.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Θεοφλέκτους καρδίας, μαθητῶν σου ἀνέδειξας παμμακάριστε, τὴν νῆψιν ἐκδιδάσκων, αὐτοῖς καὶ τοῦ Κυρίου, μνήμην ἔχειν ἀχώριστον, ἧς περ μετόχους ἡμᾶς, ταῖς προσευχαῖς σου δεῖξον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν ναῷ παρεστῶτας, ὡς ἀγγέλους Παΐσιε πάντας ἵστασθαι, καὶ θείους ὁμοφώνως, τοὺς ὕμνους ἀναφέρειν, μαθηταῖς σου ἐδίδαξας, ὅθεν αὐτῶν μιμητάς, τοὺς σὲ τιμῶντας δεῖξον.

Ἱερώτατον σμῆνος, μοναζόντων συνῆξας πάτερ Παΐσιε, εὐχῆς ἀδιαλείπτου, ἐχόντων ἐργασίαν, καὶ αἰσθήσεων τήρησιν, δι᾽ ἧς ἡμῶν ὀπτικόν, τὸ τῆς ψυχῆς καθάραις.

*Θεοτοκίον*

Ἀγγελόβιον τρόπον, μαθηταὶ Παϊσίου ἔσχον Πανάμωμε, τὴν γλυκυτάτην μνήμην, Δεσπότου καὶ Υἱοῦ σου, διαρκῶς ἐργαζόμενοι, ὧν καὶ ἡμᾶς μιμητάς, ἀξίωσον γενέσθαι.

*Ὠιδὴ η΄. Τὸν Βασιλέα τῶν οὐρανῶν.*

Σαῖς σοφωτάταις, διδασκαλίαις τρισμάκαρ, πορευόμενοι εὕροιμεν πλουσίως, Χάριν τοῦ Δεσπότου, καὶ πύλην Παραδείσου.

Χριστὸν δυσώπει, ἠγαπημένον ψυχῆς σου, ὦ Παΐσιε δοῦναι σοῖς ἱκέταις, ἄφεσιν πταισμάτων, ὧν πράττομεν ἀφρόνως.

Ἔλεος θεῖον, σαῖς προσευχαῖς δίδου Πάτερ, τοῖς τιμῶσι τὸν ἔνθεόν σου βίον, καὶ τῆς Βασιλείας, Χριστοῦ δεῖξον μετόχους.

*Θεοτοκίον*

Ἴσασον Μῆτερ, τοὺς σκολιοὺς ἡμῶν τρόπους, καὶ εὐθεῖαν ἀξίωσον βαδίζειν, τρίβον τοῦ Κυρίου, πρὸς κτῆσιν Παραδείσου.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ῥαδίως περαιῶσαι, μοναστῶν τὸν βίον, ἡμᾶς Παΐσιε πάτερ ἀξίωσον, ἵνα Χριστῷ συναφθῶμεν, τῷ σὲ δοξάσαντι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἁπάντων μαθητῶν σου, δέξαι τὰς δεήσεις, καὶ τῷ Κυρίῳ Παΐσιε πρόσφερε, ὅπως γενώμεθα οἶκοι, Αὐτοῦ φωτόμορφοι.

Σοῦ θήκην προσκυνοῦντες, τοῦ σεπτοῦ λειψάνου, ἀντικατάπεμψον χάριν αἰτούμεθα, πρὸς ἐντολῶν ἐργασίαν, Χριστοῦ Παΐσιε.

Θεοτοκίον

Ἀξίωσον Παρθένε, σὺν τῷ Παϊσίῳ, καὶ τῶν Ἁγίων ἁπάντων τοῖς τάγμασιν, ἀριθμηθῆναι τοὺς πόθῳ, σὲ μεγαλύνοντας.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

***Μεγαλυνάρια***

Τῆς ἀδιαλείπτου σε προσευχῆς, ἐργάτην καὶ μύστην, ἐγνωκότες Πάτερ σοφέ, αἰτοῦμεν δοθῆναι, εὐχαῖς σου ἡμῖν πᾶσι, Παΐσιε τὴν χάριν, ταύτης καὶ δύναμιν.

Χαίροις ἡσυχίας τῆς νηπτικῆς, τίμιε ἐργάτα, καὶ διδάσκαλε τῆς εὐχῆς, Ἰησοῦ τρισμάκαρ, Παΐσιε καὶ βίου, ἀγγελικοῦ ἡγέτα, καὶ μύστα ἄριστε.

Οἴκους δεῖξον Πάτερ τοῦ Ἰησοῦ, νήψει καὶ καθάρσει, τοὺς τιμῶντάς σε εὐλαβῶς, καὶ ἀδιαλείπτου, Παΐσιε ἐργάτας, εὐχῆς ἁγιαζούσης, ψυχὰς καὶ σώματα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Σκέπε Πέτρας Σίμωνος μοναστάς, πόθῳ προσκυνοῦντας, λείψανόν σου τὸ ἱερόν, καὶ εὐχάς σου πάτερ, Παΐσιε αἰτοῦντας, ὅπως τῆς Βασιλείας, Κυρίου τύχωμεν.

Σὺν τῷ Μυροβλύτῃ Πατρὶ ἡμῶν, Σίμωνι ὁσίῳ, καὶ Μαρίᾳ Μαγδαληνῇ, σύντρεις τὸν Δεσπότην, Παΐσιε αἰτεῖτε, ὅπως ἡμῖν τὴν Χάριν, δῷ θείου Πνεύματος.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
*Ἦχος β.᾽ Ὅτε ἐκ τοῦ ξύλου σε.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μνήμην ἀδιάλειπτον Χριστοῦ, ἔχων ἐν ψυχῇ σου παμμάκαρ, καὶ νῆψιν ἄληκτον, γέγονας παλάτιον, Αὐτοῦ φωτόμορφον, ὅθεν πλήθη ὡδήγησας, πιστῶν μαθητῶν σου, ταῖς διδασκαλίαις σου, πρὸς ζωὴν ἔνθεον, ἧς περ καὶ ἡμᾶς κληρονόμους, δεῖξον ταῖς ἁγίαις εὐχαῖς σου, ὅσιε χριστόψυχε Παΐσιε.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

*Στίχοι*

*Μνήμης χωριζούσης γλυκέος Κυρίου,*
*Δεομαί σου, Παΐσιε, λύτρωσαί με.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ